# 11 MAI/27 FEBRUARIE/ 27 SEPTEMBRIE

# PARACLISUL

# SF.MUCENIC ARGHIR DE LA TESALONIC

# SF.MUCENITE KIRANA DE LA TESALONIC

# SF.MUCENITE ACHILINA DE LA TESALONIC

## PARACLISIER-GR


ΑΡΓΥΡΙΟΣ
Ο ΝΕΟΜΑΡΤΥΣ


Η ΑΓΙΑ
ΠΟΛΙΟΥΧΟΣ ΤΗΣ
ΚΥΡΑΝΝΑ
ΚΟΙΝ. ΟΣΣΗΣ


Η ΑΓΙΑ
ΑΚΥΛΙΝΑ

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΤΩΝ ΑΓΙΩΝ ΝΕΟΜΑΡΤΥΡΩΝ ΑΡΓΥΡΙΟΥ ΤΟΥ ΕΠΑΝΟΜΙΤΟΥ, ΚΥΡΑΝΝΗΣ ΤΗΣ ΟΣΣΑΙΑΣ ΚΑΙ ΑΚΥΛΙΝΗΣ ΤΗΣ ΖΑΓΚΛΙΒΕΡΙΝΗΣ

*Ἦχος δ΄. (Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ...)*

Νεομαρτύρων τὴν ἁγίαν χωρείαν, τὴν Ἀκυλίναν καὶ Κυράνναν τὴν θείαν, σὺν Ἀργυρίῳ οἱ πιστοὶ δοξολογήσωμεν, καὶ τῇ παναλκεῖ αὐτῶν καὶ στεῤῥᾷ προστασίᾳ, πόθῳ καταφεύγοντες ἀνακράξωμεν πάντες, Νεομάρτυρες ὑπὲρ ἡμῶν, πρὸς τὸν Σωτῆρα ἀπαύστως πρεσβεύσατε.

*Δόξα. Καί νῦν. Ὅμοιον.*

Οὐ σιωπήσωμεν ποτέ, Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων, τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους, οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ, σοὺς γὰρ δούλους σῴζεις ἀεί, ἐκ παντοίων δεινῶν.

## *ᾨδὴ α΄. (Ὑγρὰν διοδεύσας...) Ἦχος πλ. δ΄.*

*Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.*

Μαρτύρων τυχοῦσα θεοφεγγοῦς, δόξης ὦ Κυράννα ὑπομείνασα χαλεπῶν, βασάνων κλυδώνιον, παθῶν μου, θανατηφόρου ἐκ κλύδωνος ῥῦσαί με.

*Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.*

Τὴν πίστιν τετήρηκας ἀκλινῶς, μέχρι τέλους μάρτυς Ἀκυλίνα νεοσφαγές, θῦμα προσαχθεῖσα τῷ Δεσπότῃ, ὃν ὑπὲρ πάντων ἡμῶν καθικέτευε.

*Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.*

Ὑψόθεν ἐπίβλεψον εὐμενῶς, Ἀργύριε μάρτυς, ἐπὶ πάντας τοὺς εὐλαβῶς, τῇ σῇ καταφεύγοντας πρεσβείᾳ, καὶ τὴν θερμήν σου ζητοῦντας βοήθειαν.

*Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπὲρ ἡμῶν.*

Ῥόδα ἁγιότητος μυρανθῆ, Νεομάρτυρες θεῖοι γῆν τὴν πατρικήν, πληροῦται εὐωδίας καὶ τῶν παθῶν δυσωδίαν ἐλαύνετε.

*Θεοτοκίον.*

Ἀγγέλων Μαρία σὺ βασιλίς, ὡς τεκοῦσα τούτων βασιλέα ὤφθης διό, βασιλεύειν Τοῦτον ἐν καρδίαις, τῶν σὲ ὑμνούντων δυσώπει πανάχραντε.

## *ᾨδὴ γ΄. (Οὐρανίας ἁψῖδος...)*

*Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.*

Πρὸς Χριστὸν τὸν Θεόν σου, μάρτυς Κυράννα ἀκλόνητον, ἔχουσα τὴν πίστιν ὑπέστης, ξέσεις τοῦ σώματος, καὶ μαστιγώσεις σφοδράς, δι΄ ὧν θαυμάτων τὴν χάριν, παρ΄ Αὐτοῦ ἀπέλαβες, πρὸς θεραπείαν πιστῶν.

*Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.*

Ἀκυλίνα θεόφρων, χαῖρε Χριστοῦ σφάγιον, καὶ ἀμνὰς καὶ νύμφῃ τοῦ Λόγου, χαῖρε πανένδοξε, Ζαγκλιβερίου βλαστέ, καὶ κρίνῃ τῶν ἰαμάτων, ἐν ἐσχάτοις ἔλαμψας, καθάπερ ἥλιος.

*Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.*

Ρῶσιν αἴτει θεόθεν, καὶ πειρασμῶν λύτρωσιν, καὶ ἀσθενειῶν πολυτρόπων, ταχεῖαν ἴασιν, μάρτυς Ἀργύριε, τοῖς τῇ θερμῇ σου πρεσβείᾳ, πίστει καταφεύγουσι, καὶ σὲ γεραίρουσι.

*Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπὲρ ἡμῶν.*

Ζαγκλιβέριον τέρπου Ἐπανομὴ χόρευε, σὺν αὐτοῖς καὶ Ὄσσα ἀγάλλου, ὅτι βλαστήματα, οἱ νεομάρτυρες, ἡμῶν ὑπάρχουσι θεῖοι, πάντοτε πρεσβεύοντες πρὸς τὸν Φιλάνθρωπον.

*Θεοτοκίον.*

Οὐρανίων ταγμάτων, ὡς ἀληθῶς πέφυκας, Κόρη ἀγαλλίαμα θεῖον καὶ περιήχημα, τούτων κυήσασα τὸν ποιητὴν καὶ Δεσπότην, ὃν ἡμῖν εὐίλατον δίδου Θεόνυμφε.

Διάσωσον Νεομαρτύρων τριὰς ἁγία, τοὺς τῇ ὑμῶν βοηθείᾳ προσφεύγοντας, Ἀργύριε, Κυράννα σὺν Ἀκυλίνῃ.

Ἐπίβλεψον ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος. Κάθισμα.

*Ἦχος β΄. (Πρεσβεία θερμή...)*

Πατρίδα ἡμῶν Μακεδονίαν Ἅγιοι, τηρεῖτε ἀεὶ ἐξ ἐπιβούλων ἄτρωτον, ὦ Τριὰς πανένδοξε, Ἀκυλίνα, Κυράννα, Ἀργύριε καὶ ἐκ μανίας τῶν αἱρετικῶν, φυλάττετε ποίμνιον ἀλώβητον.

*ᾨδὴ δ΄. (Εἰσακήκοα Κύριε...)*

*Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.*

Οἱ τιμῶντες Κυράννα, σοῦ τὸ τίμιον σῶμα χάριν εὑρήκασι· ἐκπληρεῖ γὰρ τὰ αἰτήματα, τῶν Αὐτὸν τιμώντων ὁ φιλάνθρωπος.

*Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.*

Ἀκυλίνα ἐπήκουσε, τῶν ἐπιποθούντων σου θεῖον σκήνωμα, τὰς εὐχὰς ὁ πολυεύσπλαγχνος, ὅστις θαυμαστῶς σὲ ἐφανέρωσεν.

*Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.*

Ροῦν ψυχόλεθρον ξήρανον, Μάρτυς κατακλύζοντα τὰς ψυχάς ἡμῶν, καὶ ἀνάβλυσον Ἀργύριε, ὕδωρ εὐφροσύνης τοῖς τιμῶσί σε.

*Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπὲρ ἡμῶν.*

Ἀποστάζουσι ἔνδοξοι, μέλι καὶ κηρίον ὑμῶν τὰ λείψανα, καὶ ὀσμὴν ζωῆς παρέχουσι, τοῖς ἀσπαζομένοις μετὰ πίστεως.

*Θεοτοκίον.*

Συμφορῶν ὧν πεπτώκαμεν ῥῦσαι Παναγία ἡμᾶς καὶ δώρησαι, ἐν εἰρήνῃ διανύσαι τε βίον τὸν ἐπίλοιπον δεόμεθα.

*ᾨδὴ ε΄. (Φώτισον ἡμᾶς...)*

*Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.*

Ἔρωτα σαρκός, ἀπεκρούσω θείῳ ἔρωτι, καὶ ἐπόθησας ἁγνείαν καὶ ἡμᾶς, ὦ Κυράννα σαρκικῶν παθῶν ἀπάλλαξον.

*Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.*

Πλάνην μιαρὰν καταγγέλεις σοῦ τῷ αἵματι, Ἀκυλίνα καὶ λυτρώνεις πειρασμῶν τοὺς ἐπιποθοῦντας σὴν ἀντίληψιν.

*Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.*

Ἔπειδε ἡμῖν, ἀθλητὰ Χριστοῦ Ἀργύριε, καὶ προσδέχου τὰ αἰτήματα ἡμῶν, παρεχόμενος ἑκάστῳ ὧνπερ δέεται.

*Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπὲρ ἡμῶν.*

Κλήματα Χριστοῦ, τῆς ἀμπέλου ἀνεδείχθητε, Νεομάρτυρες κλεινοί, θεῖον οἶνον Ἐκκλησίαν καταρδεύοντες.

*Θεοτοκίον.*

Ἰσχὺς κραταιά, ἡμῖν δίδου Μητροπάρθενε, ἐπιβαίνειν τῶν παγίδων τοῦ ἐχθροῦ, καὶ τὰ τούτου ἐννοεῖν ἐπιβουλεύματα.

*ᾨδὴ στ΄. (Τὴν δέησιν ἐκχεῶ...)*

*Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.*

Κειμήλιον τῇ πατρίδι δέδωκας, σοῦ τὸ σκήνωμα Κυράννα ὡς τεῖχος, περιβαλλοῦσα τὴν Ὄσσαν εὐχαῖς σου, καὶ νοητῶν δυσμενῶν ἐκδιώκουσα,τὴν φάλαγγαν τὴν πονηράν, τὴν φθονοῦσαν ἁγία τὴν ποίμνην σου.

*Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.*

Ἀκένωτος ὡς πηγὴ ὑπάρχουσα, Ἀκυλίνα θεϊκῶν δωρημάτων, τῶν έν τῷ βίῳ παθῶν μου τὴν λύσιν, καὶ πειρασμῶν κουφισμὸν σύ μοι δώρησαι, Νεομάρτυς τοῦ Χριστοῦ, έγκαλλώπισμα Ὄσσης καὶ καύχημα.

*Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.*

Κινδύνων, καὶ δυσπραγίας ἀπάσης, ἀνωτέρους Νεομάρτυς συντήρει, τοὺς τῇ σεπτῇ σου προστρέχοντας σκέπῃ, καὶ τῶν πταισμάτων ἐξαίτει συγχώρησιν, καὶ εὐλογίαν θεϊκήν, τοῖς πιστοῖς συμπολίταις σου Ἅγιε.

*Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπὲρ ἡμῶν.*

Ὡς θύματα νεοθαλῆ τῷ Δεσπότῃ, προσηνέχθητε τριὰς νεομαρτύρων, μὴ δειλιάσαντες θράσος τυράννων καὶ ἀσινῆ τὴν ἀγνείαν τηρήσαντες, μεγίστην οὖν καὶ παρ᾽Αὐτοῦ, τὴν ἰσχὺν τῶν θαυμάτων εἰλήφατε.

Ὡς θύματα νεοθαλῆ τῷ Δεσπότῃ, προσηνέχθητε τριὰς Νεομαρτύρων, μὴ δειλιάσαντες θράσος τυράννων καὶ ἀσινῆ τὴν ἀγνείαν τηρήσαντες, μεγίστην οὖν καὶ παρ᾽Αὐτοῦ, τὴν ἰσχὺν τῶν θαυμάτων εἰλήφατε.

*Θεοτοκίον.*

Θησαύρισμα τῆς Καινῆς διαθήκης, ὢ θεόπαις Μαριὰμ σὺ ἐγένου, καταλλαγὴ πρὸς Υἱὸν καὶ Θεὸν

σου, ὑπὲρ ἡμῶν τῶν πταιόντων ἑκάστοτε, τὴν παραδείσου γὰρ τρυφήν, διὰ σοῦ θαυμαστῶς ἀπελάβομεν.

Διάσωσον Νεομαρτύρων τριὰς ἁγία, τοὺς τῇ ὑμῶν βοηθείᾳ προσφεύγοντας, Ἀργύριε, Κυράννα σὺν Ἀκυλίνῃ.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα, δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κάθισμα. Ἦχος β΄. (Προστασία τῶν χριστιανῶν...)*

Τὰ τοῦ Χριστοῦ ἐν τῷ σώματι στίγματα, διὰ ἀθλήσεως Νεομάρτυρες φέρετε, Ἀκυλίνα καὶ Κυράννα σὺν Ἀργυρίῳ ἐπληρώθητε, χάριτος τῆς θεϊκῆς, ἀσθενείας ὀδυνηρὰς καὶ νόσους θεραπεύειν ἑκάστοτε, τῶν ἐπικαλουμένων ὑμᾶς ἐν πάσῃ θλίψει, καὶ ἀθυμίᾳ ψυχικῇ, ἀθληφόροι πανσεβάσμιοι.

*Ἕτερον. Ἦχος πλ. β΄. (Ὅλην ἀποθέμενοι...)*

Ἐπὶ τὴν ταπείνωσιν ὑμῶν ἐπέβλεψεν ὄντως, καὶ ἰσχὺν ἐδώρησε, κατὰ τῶν ἐχθρῶν ὑμῶν ὁ φιλάνθρωπος, πίστιν ἐκράτεινε ἐν καιροῖς δουλείας καὶ σαρκὸς ἅπαν τὸ φρόνημα, καταφρονήσατε, καὶ ζωὴν τὴν πρόσκαιρον διὰ τὴν μέλλουσαν· Κυράννα Ἀκυλίνα τε σὺν τῷ Ἀργυρίῳ πολύαθλοι. Ὃν ἐκδυσωπεῖτε λυτρώσασθαι ἡμᾶς ἐκ συμφορῶν καὶ λυπηρῶν περιστάσεων ἐν τῷ βίῳ πάνσεμνοι.

## Ὠδὴ ζ΄. (Οἱ ἐκ τῆς Ἰουδαίας...)

*Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.*

Φῶς ἐπέλαμψε μέγα, ὅτε τοῦ Κυρίου εἰς χεῖρας παρέδωκας, Κυράννα τὴν ψυχήν σου, διὰ πολλῶν βασάνων, ὃν φωτίσαι ἱκέτευε, τὴν σκοτεινήν μου ψυχὴν παθῶν τῇ ἀμαυρώσει.

*Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.*

Τοῦ ἐχθροῦ τῆς κακίας ῥῦσαι Ἀκυλίνα τοὺς καταφεύγοντας, τοῖς θείοις σου λειψάνοις, ἐξ ὧν τρυγῶμεν πάντες, τῶν θαυμάτων ἐνέργειαν, καὶ ἀνιάτων παθῶν τὴν ἴασιν συντόμως.

*Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.*

Παθημάτων ποικίλων, καὶ σκανδάλων παντοίων τοῦ πολεμήτορος, καὶ νόσων ὀλεθρίων, καὶ πόνων ἀφορήτων, Ἀργύριε ἀπάλλαξον, τοὺς προσιόντας πιστῶς,τῇ θείᾳ σου πρεσβείᾳ.

*Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπὲρ ἡμῶν.*

Ἀπιστίας τὸν ζόφον, Μάρτυρες Κυρίου ἐξηφανίσατε, τῇ πίστει τῆς Τριάδος, τριὰς Ἁγίων κλέος, καὶ πιστῶν ἀνεδείχθητε, προπύργια ὀχυρὰ ἐν πειρασμῶν τῇ ζάλῃ.
Θεοτοκίον. Ἀειπάρθενε Κόρη, ἡ Θεὸν σαρκωθέντα ἡμῖν κυήσασα, θεράπευσαν τὸ ἄλγος, ψυχῆς μου τῆς

ἀθλίας, καὶ φωτί με καταύγασον, τοῦ προελθόντος ἐκ σοῦ, βροτῶν είς σωτηρίαν.

*ᾨδὴ η΄. (Τὸν Βασιλέα...)*

*Ἁγία τοῦ Θεοῦ  πρέσβευε ὑπὲρ ἡμῶν.*

Τὴν ξηρανθεῖσαν τῇ κακίᾳ ψυχήν μου, ζωοποίησον Κυράννα Νεομάρτυς, ὕδατι ἀφθάρτῳ, τῶν θείων πρεσβειῶν σου.

*Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.*

Ὀδύνας πάσας καὶ πικρὰς ἀσθενείας, ἐπικούφισον Ἀκυλίνα ἁγία, τῶν ὑμνολογούντων τὴν θείαν ἄθλησίν σου.

*Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.*

Ἀπαγχονήσας, τῇ σῇ ἀγχόνῃ τὸν ὄφιν, κατασύντριψον αὐτοῦ τὴν κακουργίαν, δι᾽ ἧς Νεομάρτυς, ἡμῶν κατεπεμβαίνει.

*Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπὲρ ἡμῶν.*

Στέφανος Γένους καὶ χαρὰ Ἐκκλησίας, Νεομάρτυρες ἐφάνητε ἐσχάτως, στήριγμα πιστῶν τε, ἐν κλύδωνι τοῦ βίου.

*Θεοτοκίον.*

Τῆς μετανοίας τὴν σωτήριον τρίβον, ὁδοποίησον Μαρία τῇ ψυχῇ μου, ἵνα ὑπαντήσω Κύριον τὸν Θεόν μου.

*Ὠδὴ θ΄. (Κυρίως Θεοτόκον...)*

*Ἁγία τοῦ Θεοῦ  πρέσβευε ὑπὲρ ἡμῶν.*

Ἐλπίδος καὶ ἀγάπης πίστεώς τε στήλη, μάρτυς Κυράννα ἐδείχθης πανεύφημε, φρούρει τους  πόθῳ ὑμνοῦντας, σὰ κατορθώματα.

*Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.*

Ὡς κρῖνον σὺ έν μέσῳ ἀκανθῶν ἐφάνης, καὶ εὐωδίας σου θείας ἐνέπλησας, ὦ Ἀκυλίνα ψυχὰς τῶν σὲ ὑμνούντων.

*Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.*

Μαρτύρων ἀγλαΐᾳ,Μάρτυς διαλάμπων, ἐκ σκοτασμοῦ παθημάτων καὶ θλίψεων,ταῖς σαῖς πρεσβείαις Ἀργύριε λύτρωσαι.

*Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπὲρ ἡμῶν.*

Τριὰς νεομαρτύρων, τὸν Χριστὸν δυσώπει, τοῦ λυτρωθῶμεν κινδύνων καὶ θλίψεων, καὶ τῆς ζωῆς τῆς μελλούσης,ἐπαπολαύσωμεν.

## *Θεοτοκίον.*

Χρυσσοῖς κεκοσμημένη, κροσσωτοῖς Παρθένε, ὡς βασιλὶς οὐρανίων δυνάμεων,τὸν σὸν Υἱὸν ἐκδυσώπει, ὑπὲρ τῶν δούλων σου .

## *ΜΕΓΑΛΥΝΑΡΙΑ*

῎Οσσης βλάστημα Ἱερόν, Κυράννα θεόφρον, ἄμωμε νύμφη τοῦ Χριστοῦ, ᾧ καὶ προσαχθεῖσα, ἀγῶσι μαρτυρίου, μαρτυρικῆς εὐκλείας, ὤφθης συμμέτοχος.

Ἔστης ἐν τῇ πέτρα τῇ ἀῤῥαγεῖ, ἀκλόνητος Μάρτυς, ἐν τῇ πνεύσει τῶν δυσχερῶν, τῆς ὁμολογίας, Χριστοῦ τῆς παναγίας, καὶ ἤθλησας Κυράννα στεῤῥῷ φρονήματι.

῎Ηνεγκας ῥαβδίσματα χαλεπά, εἱρκτῆς τὰς κακώσεις, αἰωρήσεις τε τὰς πικράς, καὶ Χριστὸν ἐν ἄθλοις, δοξάσασα ἀγίοις, λαμπρῶς ἐμεγαλύνθης, Κυράννα ἔνδοξε.

Χαίροις νύμφη ἄμωμε τοῦ Χριστοῦ, Μάρτυς Ἀκυλίνα, χαίροις ῎Οσσης ὁ θησαυρός, καὶ Ζαγκλιβερίου τὸ καύχημα καὶ κλέος, καὶ Ἐκκλησίας πάσης θεῖον κειμήλιον.

Βασάνους ὑπέστης καρτερικῶς, χειρὶ τῇ πατρῴᾳ, Ἀκυλίνα ὑπομονῆς, στήλη τε ἐδείχθης καὶ ἀνεξικακίας, τὰς ἐντολὰς τηροῦσα Χριστοῦ ἀοίδιμε.

Λόγοις τῆς μητρός σου ὡς πίων γῆ, σεμνὴ ἀρδευθεῖσα, ἐγεώργησας μυστικῶς, ἄθλοις μαρτυρίου, καρποὺς ἀθανασίας, θεόφρον Ἀκυλίνα, στεῤῥῶς ἀθλήσασα.

Νόσων καὶ παντοίων δυσχερειῶν, παθῶν ψυχοφθόρων, καὶ κινδύνων καὶ πειρασμῶν, ἀπάλλαττε θᾶττον, τῇ σῇ ἐπιστασίᾳ, τούς σὲ ὑμνολογοῦντας, μάρτυς Ἀργύριε.

Νέος ὢν τῷ σώματι Ἀθλητά, τὸν ἀρχαῖον ὄφιν, ἐτροπώσω μαρτυρικῶς· ὅθεν τοὺς πιστῶς σε, Ἀργύριε τιμῶντας, τῆς τούτου ἐπηρείας, ἀτρώτους φύλαττε.

Ἤνεγκας ἀνδρείως ὑπὲρ Χρίστου, τὸν θάνατον Μάρτυς, δι᾽ ἀγχόνης καὶ πρὸς ζωήν, ἀθάνατον ἤρθης, Ἀργύριε ἐν δόξῃ, ὑπὲρ ἡμῶν πρεσβεύων, τῶν εὐφημούντων σε.

Κεχαριτωμένη παρθενική, τριὰς τῶν Μαρτύρων, τοῦ Σωτῆρος οἱ ἀθληταί, ψυχήν τε τῷ Δεσπότῃ, παρέθεσθε καὶ πλάστῃ, αἰτεῖται παισμάτων λύσιν, καὶ θεῖον ἔλεος.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες, μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

*Ἀπολυτίκιον. Ἦχος πλ α΄. «Τὸν συνάναρχον Λόγον...»*

Χαίρετε εὔοσμα ἄνθη τῆς ἐπαρχίας ἡμῶν. Παρθενομάρτυς Κυράννα καὶ Ἀκυλίνα σεμνή, σὺν Ἀργυρίῳ τῷ κλεινῷ· οἱ ἀθλήσαντες στεῤῥῶς ὑπὲρ τῆς πίστεως. Νῦν δὲ ἀγάλλεσθε τερπνῶς· τῆς οὐρανίου γὰρ τρυφῆς, μέτοχοι ὄντες.Πρεσβεύετε δὲ ἀπαύστως, ὑπὲρ ἡμῶν τῶν τιμώντων, καὶ ὑμνούντων τὴν ἄθλησιν.

*Ἕτερον. Ἦχος α΄. «Τῆς ἐρήμου πολίτης...»*

Τὴν τριάδαν τὴν θείαν τῶν μαρτύρων τιμήσωμεν, Ἀκυλίναν Ζαγκλιβερίου, κρίνον τὸ εὐωδέστατον, Ἀργύριον βλαστὸν Ἐπανομῆς, Κυράνναν Ὄσσης ἄνθος τὸ τερπνόν, καὶ βοήσωμεν ὦ Ἅγιοι τῷ Χρι-στῷ, μὴ παύσητε τοῦ πρεσβεύειν. Δόξα τῆς ἐπαρχίας ἡμῶν. Δόξα Μακεδονίας. Δόξα τῆς Ἐκκλησίας τοῦ Χριστοῦ, νεοελλήνων στήριγμα.

*Προσόμοιον. Ἦχος β΄. (Πάντων προστατεύεις...)*

Ρόδα ὥσπερ εὔοσμα ἐκ γῆς, ὑμῖν ἐδωρήθησαν ὄντως τὰ θεῖα λείψανα, Κυράννης τῆς μάρτυρος καὶ Ἀκυλίνης ὁμοῦ, σὺν Ἀργυρίῳ θεόφρονι, σωμάτων τὴν ῥῶσιν, ψυχῶν τε παραμύθιον καὶ θεραπείαν παθῶν, οἷς περ καταφεύγοντες πίστει, δόξα σοι Χριστὲ ἐκβοῶμεν, Νεομαρτύρων τὸ στεφάνωμα.

*Ἕτερον, ὅμοιον.*

Χαίροις τῶν μαρτύρων ἡ τριάς, τῆς Μακεδονίας τὰ ἄστρα, ῥόδα πανεύοσμα,τὰ αἱματοπόρφυρα, μάκαρ Ἀργυριε, Ἀκυλίνα πανεύφημε, Κυράννα ἀγνείας,

σκεῦος πνευματέμφορον, Χριστῷ πρεσβεύσατε, ὅπως λυτρωθῶμεν κινδύνων, καὶ πολυειδῶν ἀλγηδόνων, οἱ γεραίροντες ὑμῶν τὴν ἄθλησιν.

Τῇ πρεσβείᾳ Κύριε πάντων τῶν Ἁγίων καὶ τῆς Θεοτόκου, τὴν σὴν εἰρήνην δὸς ἡμῖν καὶ ἐλέησον ἡμᾶς ὡς μόνος οἰκτῖρμον.